τρίμηνον καὶ δέκα ἡμέρας ἐβασίλευσεν ἐν Ιερουσαλημ. καὶ ἐποί-
10 ησεν τὸ πονηρὸν ἐνώπιον κυρίου. [10]καὶ ἐπιστρέφοντος τοῦ ἐνι-
αυτοῦ ἀπέστειλεν ὁ βασιλεὺς Ναβουχοδονοσορ καὶ εἰσήνεγκεν αὐ-
τὸν εἰς Βαβυλῶνα μετὰ τῶν σκευῶν τῶν ἐπιθυμητῶν οἴκου κυρίου
καὶ ἐβασίλευσεν Σεδεκιαν ἀδελφὸν τοῦ πατρὸς αὐτοῦ ἐπὶ Ιουδαν
καὶ Ιερουσαλημ.
11 [11]Ἐτῶν εἴκοσι ἑνὸς Σεδεκιας ἐν τῷ βασιλεύειν αὐτὸν καὶ ἕν-
12 δεκα ἔτη ἐβασίλευσεν ἐν Ιερουσαλημ. [12]καὶ ἐποίησεν τὸ πονηρὸν
ἐνώπιον κυρίου θεοῦ αὐτοῦ, οὐκ ἐνετράπη ἀπὸ προσώπου Ιερεμιου
13 τοῦ προφήτου καὶ ἐκ στόματος κυρίου [13]ἐν τῷ τὰ πρὸς τὸν βα-
σιλέα Ναβουχοδονοσορ ἀθετῆσαι ἃ ὥρκισεν αὐτὸν κατὰ τοῦ θεοῦ
καὶ ἐσκλήρυνεν τὸν τράχηλον αὐτοῦ καὶ τὴν καρδίαν αὐτοῦ κατ-
14 ίσχυσεν τοῦ μὴ ἐπιστρέψαι πρὸς κύριον θεὸν Ισραηλ. [14]καὶ πάν-
τες οἱ ἔνδοξοι Ιουδα καὶ οἱ ἱερεῖς καὶ ὁ λαὸς τῆς γῆς ἐπλήθυναν
τοῦ ἀθετῆσαι ἀθετήματα βδελυγμάτων ἐθνῶν καὶ ἐμίαναν τὸν οἶ-
15 κον κυρίου τὸν ἐν Ιερουσαλημ. [15]καὶ ἐξαπέστειλεν κύριος ὁ θεὸς
τῶν πατέρων αὐτῶν ἐν χειρὶ προφητῶν ὀρθρίζων καὶ ἀποστέλλων
τοὺς ἀγγέλους αὐτοῦ, ὅτι ἦν φειδόμενος τοῦ λαοῦ αὐτοῦ καὶ τοῦ
16 ἁγιάσματος αὐτοῦ· [16]καὶ ἦσαν μυκτηρίζοντες τοὺς ἀγγέλους αὐ-
τοῦ καὶ ἐξουδενοῦντες τοὺς λόγους αὐτοῦ καὶ ἐμπαίζοντες ἐν τοῖς
προφήταις αὐτοῦ, ἕως ἀνέβη ὁ θυμὸς κυρίου ἐν τῷ λαῷ αὐτοῦ,
17 ἕως οὐκ ἦν ἴαμα. [17]καὶ ἤγαγεν ἐπ᾽ αὐτοὺς βασιλέα Χαλδαίων, καὶ
ἀπέκτεινεν τοὺς νεανίσκους αὐτῶν ἐν ῥομφαίᾳ ἐν οἴκῳ ἁγιάσμα-
τος αὐτοῦ καὶ οὐκ ἐφείσατο τοῦ Σεδεκιου καὶ τὰς παρθένους αὐ-
τῶν οὐκ ἠλέησαν καὶ τοὺς πρεσβυτέρους αὐτῶν ἀπήγαγον· τὰ
18 πάντα παρέδωκεν ἐν χερσὶν αὐτῶν. [18]καὶ πάντα τὰ σκεύη οἴκου
θεοῦ τὰ μεγάλα καὶ τὰ μικρὰ καὶ τοὺς θησαυροὺς καὶ πάντας τοὺς
θησαυροὺς βασιλέως καὶ μεγιστάνων, πάντα εἰσήνεγκεν εἰς Βαβυ-
19 λῶνα. [19]καὶ ἐνέπρησεν τὸν οἶκον κυρίου καὶ κατέσκαψεν τὸ τεῖχος
Ιερουσαλημ καὶ τὰς βάρεις αὐτῆς ἐνέπρησεν ἐν πυρὶ καὶ πᾶν
20 σκεῦος ὡραῖον εἰς ἀφανισμόν. [20]καὶ ἀπῴκισεν τοὺς καταλοίπους
εἰς Βαβυλῶνα, καὶ ἦσαν αὐτῷ καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς δούλους
21 ἕως βασιλείας Μήδων [21]τοῦ πληρωθῆναι λόγον κυρίου διὰ στό-
ματος Ιερεμιου ἕως τοῦ προσδέξασθαι τὴν γῆν τὰ σάββατα αὐτῆς
σαββατίσαι· πάσας τὰς ἡμέρας τῆς ἐρημώσεως αὐτῆς ἐσαββάτισεν
εἰς συμπλήρωσιν ἐτῶν ἑβδομήκοντα.
22 [22]Ἔτους πρώτου Κύρου βασιλέως Περσῶν μετὰ τὸ πληρωθῆναι
ῥῆμα κυρίου διὰ στόματος Ιερεμιου ἐξήγειρεν κύριος τὸ πνεῦμα

10 επιστραφεντος A | εισην.] εισηγαγεν A | σεδεκιαν] pr. τον A || 14 επληθυναν mu.] -νεν BA || 15 προφητων > B† | αυτου ult. > A || 16 τους $1^0$ > A† | ο > A || 17 ηλεησεν A || 18 παντα ult.] pr. και B† || 21 πασας — εσαββατισεν > B†. || 22 κυρου $1^0$ > B†